Α′. Τὸ προοίμιον τῆς βίβλου, ἐν ᾧ διαπορεῖ περὶ τοῦ Ἰουδαϊκοῦ ἔθνους, καὶ μνεία τῶν πρώτως ἀρξαμένων ἀρχῆθεν τῆς τοιάυτης πραγματείας, καὶ ὅπως καὶ ἐκ ποίων τὴν Ἱστορίαν ἠρανίσατο· καὶ ὡς τῆς ἀληθείας φροντίσει, καὶ ἄλλα τινὰ ἡ Ἱστορία περιέξει.

Β′. Τίνες ἦσαν ἐπίσκοποι τῶν μεγάλων πόλεων, τοῦ μεγάλου Κωνσταντίνου βασιλεύσαντος, καὶ ὅπως ἡ μὲν ἄχρι Λιβύης διὰ Λικίνιον περιεσκεμμένως ἐχριστιάνιζεν· ἡ δὲ ἑσπέρα διὰ τὸν Κωνσταντῖνον μετ᾽ ἐλευθερίας τὸν Χριστιανισμὸν ἐπαρρησιάζετο.

Γ′. Ὅτι τοῦ σταυροῦ ὄψει, καὶ τῇ τοῦ Χριστοῦ ἐμφανείᾳ, εἰς τὸ χριστιανίζειν ἐλήλυθεν ὁ Κωνσταντῖνος, διδαχθεὶς καὶ παρὰ τῶν ἡμετέρων τὸ εὐσεβές.

Δ′. Ὅτι τὸ τοῦ σταυροῦ σημεῖον ἀφηγεῖσθαι τοῦ πολέμου ἐθέσπισε· καὶ διήγησις παράδοξος περὶ τῶν τὸ σημεῖον φερόντων τὸ σταυρικόν.

Ε′. Ἀντίρρησις πρὸς τοὺς λέγοντας χριστιανίσαι τὸν Κωνσταντῖνον διὰ τὸν φόνον τοῦ υἱοῦ αὐτοῦ Κρίσπου.

ς′. Ὅτι καὶ ὁ τοῦ Κωνσταντίνου πατὴρ παρεχώρει τὸ τοῦ Χριστοῦ πλατύνεσθαι ὄνομα· ὁ δὲ μέγας Κωνσταντῖνος πανταχοῦ διαδραμεῖν παρεσκεύασε.

Ζ′. Περὶ τῆς διαφορᾶς μεταξὺ Κωνσταντίνου καὶ Λικιννίου τοῦ γαμβροῦ αὐτοῦ, διὰ τοὺς χριστιανούς, καὶ ὡς κατὰ κράτος νικηθεὶς Λικίννιος διεφθάρη.

Η′. Κατάλογος τῶν χρηστῶν ὅσα Κωνσταντῖνος διεπράξατο, ἔν τε ἐλευθερίᾳ Χριστιανῶν καὶ ναῶν οἰκοδομαῖς καὶ ἄλλων κοινωφελῶν πραγμάτων.

http://digital.slub-dresden.de/id417077041/15
SLUB Wir führen Wissen.
UNIVERSITÄT LEIPZIG